# ἘΠΙΓΡΆΜΜΑΤΑ
## ἘΓΚΩΜΙΑΣΤΙΚᾺ.

Εἴ τινά γ᾽ ἱμερτὴν πληθὺς θέσαν ἀγλαϊάων,
ἢ δήπου Ζωὴν θῆκαν ὑπερβολίῃ.
Ζωὴ γὰρ χαρίεσσα, περίφρων, εἶδος ἀγητὴ
ὄμματα μὲν θέλγει κάλλεος ἀγλαΐῃ·
οὔατα μειλιχίως δὲ λιγείῃ κηλέει ὄσσῃ·
τέρπει δ᾽ εὐεπίῃ φραδμοσύνῃ τε νόον.
γίγνεται αἰδοίη δὲ σαοφροσύνῃ τε καὶ αἰδοῖ,
πρήξεσι δ᾽ ἀμφαίνει βένθος ἐχεφροσύνης.
ἦ ῥ᾽ ἀλαοὶ πάμπαν, φρένας ἠλεός, ἠὲ μεγαίρων,
ὅς τις ἄρ᾽ οὐ Ζωῆς θέλγεται ἀγλαΐης.

## ΕἸΣ ΤῊΝ ΑὙΤῊΝ.

Ἔρρετ᾽ ἐπ᾽ ἀγλαΐῃ ζηλήμονα φῦλα Γυναικῶν,
ἔρρετε μὴ Ζωῆς εὐθαλέ᾽ ἀγλαΐην
μωμεῖσθε φθονέουσαι ἀμύμονος. ἡ γὰρ ἁπασῶν
κάλλεϊ τὰς προφέρει, ὡς δὲ σαοφροσύνῃ.

## ΕἸΣ ΤῊΝ ΑὙΤῊΝ.

Ἔργματα δαιδάλεα Ζωῆς στικτὰ θωϋτὰ πάμπαν,
τῆς, πινυτὴ δ᾽ ὄμπνης πολλὸν ὑπερτερέει.